δας μεγαινήτους λιπών.
τῶν ἕνα οἱ Κρονίδας
ὑψίζυγος Ἰσθμιόνικον
θῆκεν ἀντ' [εὐε]ργεσιᾶν, λιπαρῶν τ' ἄλ-
λων στεφάνων ἐπίμοιρον.
φαμὶ καὶ φάσω ˌμέˌγιστον
κῦδος ἔχειν ἀρετάν· πλοῦ-
τος δὲ καὶ δειλοῖσιν ἀνθρώπων ὁμιλεῖ,

Η'

ἐθέλει δ' αὔξειν φρένας ἀν-
δρός· ὁ δ' εὖ ἔρδων θεούς
ἐλπίδι κυδροτέρᾱι
σαίνει κέαρ. εἰ δ' ὑγιείας
θνατὸς ἐὼν ἔλαχεν
ζώειν τ' ἀπ' οἰκείων ἔχει,
πρώτοις ἐρίζει· παντί τοι
τέρψις ἀνθρώπων βίωι
ἕπεται νόσφιν γε νόσων
πενίας τ' ἀμαχάνου.
ἶσον ὅ τ' ἀφ|νεὸς ἱ-
μείρει μεγάλων ὅ τε μείων
col 6 (2) παυροτέρων· τὸ δὲ πάν-
των εὐμαρεῖν οὐδὲν γλυκύ
θνατοῖσιν, ἀλλ' αἰεὶ τὰ φεύ-
γοντα δίζηνται κιχεῖν.
ὅντινα κουφόταται
θυμὸν δονέουσι μέριμναι,